## XIV. — Λύσεις τῶν προεισενηνεγμένων λόγων κατὰ τῆς θείας γεννήσεως.

Ἐπεὶ δὲ ἡ ἀλήθεια ψεῦδος ἅπαν ἐλαύνει καὶ διαλύει πᾶσαν ἀμφιβολίαν, λυτέον ἂν εἴη εὐθὺς τὰ δοκοῦντα δυσχέρειάν τινα κατὰ τῆς θείας ἐπάγειν γεννήσεως.

Αὐτίκα δῆλον γέγονεν ἐκ τῶν εἰρημένων, ὅτι νοερὰν ἐν τῷ Θεῷ ὑποτιθέμεθα γέννησιν, ἀλλ' οὐ τοιαύτην οἵα ἐστὶν ἐν τοῖς ὑλικοῖς πράγμασιν, ὧν ἡ γένεσις μεταβολή τις ἐστὶν ἀντικειμένη τῇ φθορᾷ, ἐπεὶ μηδ' ἐν τῷ ἡμετέρῳ νῷ μετά τινος μεταβολῆς ὁ λόγος συλλαμβάνεται, οὔτ' ἀντικειμένην ἔχει φθοράν, ἥτινι δὴ συλλήψει ὁμοίαν εἶναι τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ γέννησιν ἐκ τῶν εἰρημένων γέγονε δῆλον.

f. 152 Ἀλλ' οὐδὲ κατὰ πρόοδον ἀπὸ δυνάμεως εἰς | ἐνέργειάν ἐστιν ἡ τοῦ Θεοῦ Λόγου γέννησις, ἀλλ' ὡς τὸ ἐνεργείᾳ ὂν ἐκ τοῦ ἐνεργείᾳ ὄντος πρόεισιν· οὐδὲ γὰρ ὁ ἐν ἡμῖν λόγος ἐκ τοῦ νοῦ πρόεισιν, εἰ μὴ καθόσον ἐνεργείᾳ ἐστίν. Ὁ δὲ θεῖος νοῦς ἀεὶ ἐνεργείᾳ μόνον ἐστίν, καὶ οὐδέποτε ἐν δυνάμει. Ὅθεν καὶ τοῦτο δῆλον, ὡς ἡ γέννησις οὐ κωλύει τὸν Υἱὸν τοῦ Θεοῦ ἀληθῆ Θεὸν εἶναι ἢ ἀΐδιον κατὰ τὴν οὐσίαν. Ἀνάγκη μὲν οὖν αὐτὸν συναΐδιον εἶναι τῷ Θεῷ, οὗ καὶ ἔστι λόγος· οὐ γάρ ἐστιν ὁ ἐνεργείᾳ νοῦς ποτε λόγου χωρίς.

Ἀλλ' οὐδ' ἀνάγκη ἐν τῷ Υἱῷ τοῦ Θεοῦ ἕτερον εἶναι τὸ δεχόμενον, καὶ ἕτερον τὴν ἐγγινομένην φύσιν· τοῦτο γὰρ ἐν ταῖς ὑλικαῖς γενέσεσι συμβαίνειν ἀνάγκη, καθόσον ἡ τοῦ γεννωμένου ὕλη τὸ τοῦ γεννῶντος ὑποδέχεται εἶδος. Ἡ δὲ θεία φύσις ἄϋλος πάντη, καὶ διὰ τοῦτο ἐπὶ τῆς νοητῆς ἐκείνης γεννήσεως ὁλικῶς ὁ λόγος ἐκ τοῦ νοῦ τὴν αἰτίαν ἔχει, καὶ ὅπου ἔκ τινος ὅλον τι πρόεισιν, οὐκ ἔστιν ἐκεῖ ἀποδοῦναι τὸ δεδεγμένον, καὶ ὃ δέχεται, ἀλλ' ὅλον τὸ προϊὸν ἐξ ἐκείνου ἐστὶν ὅθεν καὶ πρόεισιν.

Εἰ δὲ καὶ ἐν τῷ Θεῷ σχέσιν εἶναι τίθεμεν, ἀλλ' οὐχ ἕπεται εἶναί τι ἐν τῷ Θεῷ ἔχον τὸ εἶναι ἠρτημένον ἑτέρου. Ἐπὶ μὲν γὰρ τῶν κτισμάτων τὸ εἶναι τῶν σχέσεων ἕτερόν ἐστι τοῦ εἶναι τῆς οὐσίας· ὅθεν καὶ ἴδιον ἔχουσι τρόπον τοῦ εἶναι κατὰ τὸν ἴδιον λόγον, ὡς καὶ τὰ ἄλλα συμβεβηκότα, ὧν τὸ εἶναι προσκείμενόν ἐστι τῷ εἶναι τῆς οὐσίας κἀκείνης ἠρτημένον, διότι εἴδη εἰσὶν προσκείμενα τῇ οὐσίᾳ καὶ ἀρχὰς καὶ αἰτίας ἔχοντα τὰς τῆς οὐσίας ἀρχάς· καὶ οὐ μόνον τοῦ τῆς οὐσίας ἤρτηται εἶναι τὰ τοιαῦτα, ἀλλ' ἐνίοτε καὶ τοῦ εἶναι ἄλλου τινὸς ἐξωτερικοῦ. Ἀλλ' ἐν τῷ Θεῷ οὐκ ἔστιν ἕτερόν τι εἶναι ἢ τὸ τῆς οὐσίας· ὃ γάρ ἐστιν ἐν τῷ Θεῷ, οὐσία ἐστίν, καὶ ὥσπερ τὸ εἶναι τῆς σοφίας ἐν τῷ Θεῷ οὐκ ἤρτηται τῆς οὐσίας, ἐπεὶ τὸ τῆς σοφίας εἶναι τὸ εἶναι ἐστὶ τῆς οὐσίας, οὕτως οὐδὲ τὸ εἶναι τῆς σχέσεως. Οὐκ ἄρα διὰ τὸ σχέσιν εἶναι ἐν τῷ Θεῷ ἕπεται εἶναί τι ἐν τῷ Θεῷ ἠρτημένον ἑτέρου, ἢ ἀτελῆ τὰ θεῖα πρόσωπα εἶναι, διακρινόμενα

Ε.Υ.Δ της Β.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σχέσεσιν· διὰ δὲ τοῦ ἐν τῷ Θεῷ ἑνότητα οὐσίας καὶ σχέσεων διάκρισιν εἶναι οὐδὲν κωλύει ἐν τῷ ἑνὶ Θεῷ ἀντικείμενα τινὰ εὑρίσκεσθαι, ἐκεῖνα δηλαδή, ἃ τῇ τῆς σχέσεως ἕπεται διακρίσει, ὡς τὸν γεννῶντα καὶ τὸν γεννώμενον, ἅπερ εἰσὶ πρός τι, καὶ τὸ γεννητὸν καὶ | ἀγέννητον, ἅπερ f. 152v ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκεινται. Ὅπου γάρ ἐστι διάκρισίς τις, ἀνάγκη καὶ τὴν τῆς καταφάσεως καὶ ἀποφάσεως ἀντίθεσιν εἶναι.

XV. — Περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι ἔστιν ἐν τοῖς θείοις.

Πατρὶ δὲ καὶ Υἱῷ συναριθμοῦσι καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὰ τῆς θείας Γραφῆς ῥητά, ὡς ἐν τῷ κατὰ Ματθαῖον· „Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος“· καὶ ἐν τῇ Ἰωάννου πρώτῃ· „Τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ· ὁ Πατήρ, ὁ Λόγος καὶ τὸ Πνεῦμα τὸ ἅγιον“. Μέμνηται δὲ ἡ Γραφὴ καὶ προόδου τινὸς αὐτοῦ τοῦ Πνεύματος, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται“.

XVI. — Τὰ δι' ὧν τινες ἐνόμισαν κτίσμα εἶναι αὐτό.

Ἐνόμισαν δέ τινες κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, πρῶτον μὲν διὰ τὸ ἀποστέλλεσθαι λέγεσθαι καὶ πέμπεσθαι· ὃ ταπεινοτέρου καὶ ἐλάττονος καὶ ὑποτεταγμένου εἶναι δοκεῖ.

Ἔτι, διὰ τὸ πολλαχοῦ τὸν Κύριον ἑαυτοῦ καὶ τοῦ Πατρὸς ἐν ἰσότητι μνημονεύσαντα μὴ μνησθῆναι τοῦ Πνεύματος, ὡς ὅταν λέγῃ ἐν τῷ κατὰ Ματθαῖον· „Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα εἰ μὴ ὁ Υἱός“· καὶ ἐν τῷ κατὰ Ἰωάννην· „Ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν“, ὧν ἐν τῇ γνώσει τὴν εὐδαιμονίαν ὁρίζεται· καὶ ὁ Ἀπόστολος, πολλαχοῦ τοῦ Πατρὸς καὶ τοῦ Κυρίου Ἰησοῦ μνημονεύων, οὐδὲν περὶ τοῦ ἁγίου Πνεύματος λέγει.

Ἔτι, τὸ θεῖον ἀκίνητον· περὶ δὲ τοῦ ἁγίου Πνεύματος λέγεται· „Πνεῦμα Κυρίου ἐπεφέρετο ἐπὶ τῶν ὑδάτων“· καί· „Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου“.

Ἔτι, τὸ Πνεῦμα τὸ ἅγιον δίδοται τοῖς ἀνθρώποις, ὡς ἐν τῷ κατὰ Λουκᾶν· „Δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν“· καὶ ἐν ταῖς Πράξεσιν· „Ὁ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον δίδωσι τοῖς ὑπακούουσιν αὐτῷ“.

Ἔτι, ἢ τὴν αὐτὴν φύσιν λαμβάνει ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἢ οὐ τὴν αὐτήν· εἰ οὖν τὴν αὐτήν, γεννᾶται, καὶ υἱός ἐστιν ἄρα· εἰ δὲ οὐ τὴν αὐτήν, κτίσμα ἄρα. Εἰ δὲ τὴν αὐτὴν φύσιν λαμβάνει ἄλλῳ τρόπῳ παρὰ τὸν Υἱόν, τοῦτο ἀδύνατον δοκεῖ· οὐ γάρ ἐστιν οἰκεῖον τῇ μιᾷ φύσει

10 Matth. 28, 19  12 I Ioh. 5, 7  14 Ioh. 15, 26  23 Matth. 11, 27
24 Ioh. 17, 3  29 Gen. 1, 2  30 Ioel, 2, 28  32 Luc. 11, 13

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ κοινωνεῖν αὐτῆς πλείοσι τρόποις τὰ μετέχοντα, καὶ οὕτω δοκεῖ μηδαμῶς τὴν θείαν φύσιν λαμβάνειν μήτε Θεὸς εἶναι ἀληθής. Αὕτη γέγονεν Ἀρείου δόξα κτίσμα μὲν λέγοντος τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τὸ μέντοι Πνεῦμα ἔλαττον καὶ τοῦ Υἱοῦ καὶ αὐτοῦ διάκονον. Τούτῳ καὶ Μακεδόνιος ἠκολούθησεν ἐν τοῖς περὶ τοῦ Πνεύματος μόνοις· τὸν γὰρ Υἱὸν μόνον τῆς
f. 153 αὐτῆς οὐσίας ἔλεγε τῷ Πατρί· ὅθεν | τινὲς τοὺς ἀπὸ Μακεδονίου καὶ ἡμιαρείους ἐκάλουν, ὡς ἐν μέρει μὲν Ἀρειανοῖς κοινωνοῦντας, ἐν μέρει δὲ διαφέροντας.

## XVII. — Ὅτι Θεός ἐστιν ἀληθὴς τὸ Πνεῦμα τὸ ἅγιον.

Ἀλλὰ δείκνυται φανερωτάταις μαρτυρίαις τὸ Πνεῦμα Θεὸς εἶναι. Πρῶτον μὲν γὰρ ἐν τῇ πρώτῃ πρὸς Κορινθίους λέγεται· „Ἢ οὐκ οἴδατε, ὅτι τὰ μέλη ὑμῶν ναός ἐστι τοῦ ἁγίου Πνεύματος"· προειρήκει δὲ ὅτι „τὰ σώματα ὑμῶν μέλη Χριστοῦ εἰσιν"· μόνῳ δὲ τῷ Θεῷ καθιεροῦται ναός, καὶ ἀδύνατον ἂν ἦν ναὸν εἶναι τοῦ Πνεύματος τὰ τοῦ Χριστοῦ μέλη, Θεοῦ ὄντος, ὡς δέδεικται, εἰ μὴ Θεὸς ἦν αὐτό.

Ἔτι, ἐν τῇ πρὸς Φιλιππησίους λέγεται· „Ἡμεῖς ἐσμὲν ἡ περιτομή, οἱ Πνεύματι λατρεύοντες"· ἡ δὲ τῆς λατρείας δουλεία μόνῳ ὀφείλεται τῷ Θεῷ, ὡς ἐν τῷ Δευτερονομίῳ· „Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις".

Ἔτι, τὸ τοὺς ἀνθρώπους ἁγιάζειν, ἔργον Θεοῦ, ὡς ἐν τῷ Λευιτικῷ· „Ἐγὼ Θεὸς ὁ ἁγιάζων ὑμᾶς"· ἐν δὲ τῇ πρώτῃ πρὸς Κορινθίους λέγεται περὶ τοῦ Πνεύματος· „Ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν"· καὶ ἐν τῇ δευτέρᾳ πρὸς Θεσσαλονικεῖς· „Ἐξελέξατο ὑμᾶς ὁ Θεὸς ἀπαρχὴν εἰς σωτηρίαν, καὶ ἐν ἁγιασμῷ τοῦ Πνεύματος ἐκ πίστεως ἀληθείας".

Ἔτι, τὸ ζωοποιεῖν ἴδιον τοῦ Θεοῦ, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ"· ἡ δὲ τοῦ ζωοποιεῖν δύναμις ἐν τῇ πρὸς Ῥωμαίους τῷ Πνεύματι ἀποδίδοται· φησὶ γάρ· „Ὁ ἐγείρας Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ὑμῖν".

Ἔτι, λέγεται περὶ τοῦ Πνεύματος ἐν τῇ πρὸς Κορινθίους, ὅτι· „Τὸ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ, καὶ οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ"· τὸ δὲ καταλαμβάνειν τὰ τοῦ Θεοῦ, οὐδενὸς κτίσματος.

---

12 I Cor. 6, 19 17 Phil. 3, 3 19 Deut. 6, 13 22 Lev. 22, 9 23 I Cor. 6, 11 26 II Thes. 2, 12 28 Ioh. 5, 21 31 Rom. 8, 11 34 I Cor. 2, 10-11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, τὸ κτίζειν μόνου τοῦ Θεοῦ ἐστιν ἔργον· λέγεται δὲ ἐν Ψαλμοῖς· „Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται".

Ἔτι, αἱ μὲν γραφαὶ Θεὸν εἶναι τὸν λαλήσαντα ἐν τοῖς προφήταις δεικνύουσιν, ὡς ἐν τοῖς Ἀριθμοῖς· „Εἴ τις γένοιτο ἐν ὑμῖν προφήτης Κυρίου, ἐν ὁράματι ὀφθήσομαι αὐτῷ, ἢ δι' ἐνυπνίου λαλήσω πρὸς αὐτόν". Ἀλλ' ἐν τῷ πρώτῳ τῶν Πράξεων περὶ τοῦ Πνεύματος τοῦ ἁγίου λέγεται· „Ἔδει γὰρ πληρωθῆναι τὴν Γραφήν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος τοῦ Δαυίδ"· καὶ ἐν τῇ δευτέρᾳ Πέτρου· „Οὐ γὰρ θελήματι ἀνθρωπίνῳ ἠνέχθη ποτὲ | προφητεία, ἀλλὰ Πνεύματι ἁγίῳ ἐμπνευσθέντες f. 153v ἐλάλησαν οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι".

Ἔτι, ἐν τῇ πρὸς Κορινθίους πρώτῃ λέγεται· „Ἡμῖν ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος τοῦ ἁγίου"· καὶ αὖθις· „Τὸ δὲ Πνεῦμα λέγει μυστήριον". Ἀλλ' ἡ τῶν μυστηρίων ἀποκάλυψις ἴδιον τοῦ Θεοῦ, ὡς ἐν τῷ Δανιήλ· „Ἔστι Θεὸς ἐν τῷ οὐρανῷ ἀποκαλύπτων μυστήρια".

Ἔτι, ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ φησίν· „Ἡ δοκιμὴν ζητεῖτε λαβεῖν τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ"· ἐν δὲ τῷ κατὰ Ματθαῖον· „Οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ"· ὧν δὲ μία ἡ ἐνέργεια, καὶ ἡ φύσις μία.

Καὶ ὁ μὲν Κύριος φησίν· „Ἐνοικήσω ἐν αὐτοῖς"· ὁ δὲ Παῦλος ἐν τῇ πρὸς Κορινθίους λέγει· „Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;"

Ἔτι, τὸ εἶναι πανταχοῦ, ἴδιον τοῦ Θεοῦ· ἐν γὰρ τῷ Ἱερεμίᾳ λέγεται· „Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ"· καὶ ἐν τῇ Σοφίᾳ· „Πνεῦμα Θεοῦ ἐνέπλησε τὴν οἰκουμένην".

Ἔτι, διαρρήδην Θεὸς λέγεται τὸ ἅγιον Πνεῦμα, ὡς ἐν ταῖς Πράξεσι· „Διατί ἐπείρασεν, Ἀνανία, ὁ σατανᾶς τὴν καρδίαν σου ψεύδεσθαί σε τῷ Πνεύματι τῷ ἁγίῳ"; καὶ προστίθησι μετ' ὀλίγα· „Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ".

Ἔτι, τὸ υἱοθετεῖν τῷ Θεῷ, ἔργον τοῦ Θεοῦ. Διὰ τοῦτο τῷ ἀληθινῷ Υἱῷ τοῦ Θεοῦ ἀποδέδοται, ὡς ἐν τῇ πρὸς Γαλάτας· „Ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, ἵνα τὴν υἱοθεσίαν ἡμεῖς ἀπελάβομεν". Ἀλλ' ἐν τῷ ὀγδόῳ τῆς πρὸς Ῥωμαίους λέγεται· „Ἐλάβετε πνεῦμα υἱοθεσίας".

Ἔτι, ἵνα μή τινι δοκοίη ὡς διακόνῳ καὶ κτίσματι ταῦτα ἀποδίδοσθαι τῷ ἁγίῳ Πνεύματι, ἐν τῇ πρὸς Κορινθίους πρώτῃ φησὶν ὁ Ἀπόστολος· „Ἐνεργειῶν διαιρέσεις εἰσίν, ὁ δὲ αὐτὸς Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν"· εἶτα ἀπαριθμηθέντων τῶν διαφόρων χαρισμάτων, φησίν· „Ταῦτα

**2** Ps. 103, 30 **4** Num. 12, 6 **7** Act. 1, 16 **8** II Pet. 1, 21 **11** I Cor. 2, 10 **14** Dan. 2, 28 **15** II Cor. 13, 3 **17** Matth. 10, 20 **19** II Cor. 6, 16 **20** I Cor. 3, 16 **23** Ier. 23, 24 Sap. 1, 7 **26** Act. 5, 3 **30** Gal. 4, 4-5 **32** Rom. 8, 15 **35** I Cor. 12, 4 sq.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ καθὼς βούλεται"· ὅπου φανερῶς ἀποφαίνεται Θεὸν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, τοῦτο μὲν ἐξ ὧν φησι ποιεῖν αὐτό, ἃ προείρηκε ποιεῖν τὸν Θεόν, τοῦτο δὲ καὶ ἐξ ὧν τῷ τῆς βουλήσεως αὐτεξουσίῳ ὁμολογεῖ ἐνεργεῖν.

Φανερὸν ἄρα ἐκ τούτων καὶ ἔτι ἄλλων πλειόνων, ἃ συντομίας χάριν παρεῖται, Θεὸν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

## XVIII. — Ὅτι τὸ Πνεῦμα τὸ ἅγιον πρόσωπον ἐστὶν ὑφεστώς.

Τινὲς δὲ ἰσχυρίζονται τὸ Πνεῦμα τὸ ἅγιον μὴ εἶναι πρόσωπον ὑφεστώς, ἀλλ' ἢ αὐτὴν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν θεότητα, ἢ τελειότητά τινα τοῦ νοῦ κατὰ συμβεβηκὸς παρὰ τοῦ Θεοῦ δωρηθεῖσαν ἡμῖν, ὡς, λόγου χάριν, σοφίαν ἢ ἀγάπην, ἃ μετέχονται ὑφ' ἡμῶν ὥσπερ τινὰ συμβεβηκότα
f. 154 κτιστά. | Ἀλλ' ἀδύνατον· τὰ γὰρ κατὰ συμβεβηκὸς εἴδη οὐ ποιοῦσιν ἰδίως, ἀλλ' οἱ ἔχοντες αὐτὰ μᾶλλον τῷ τῆς βουλήσεως αὐτεξουσίῳ, ὥσπερ ὁ σοφὸς χρῆται ὡς ἂν καὶ ὅτε βούλεται τῇ σοφίᾳ. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον αὐτεξουσίως ἐνεργεῖ, ὡς δέδεικται.

Ὅτι δὲ ἀληθῶς καθ' ὑπόστασιν διακρίνεται τοῦ Πατρὸς καὶ Υἱοῦ, δῆλον ἐκ τῆς Γραφῆς· λέγεται γὰρ ἐκπορεύεσθαι παρὰ τοῦ Πατρὸς καὶ λαμβάνειν ἐκ τοῦ Υἱοῦ, ὅπερ ἀδύνατον περὶ τῆς θείας οὐσίας νοεῖσθαι. Ἔτι τε συναριθμεῖται τοῖς ὑφεστῶσι προσώποις, ὡς ἐν τῷ „πορευθέντες μαθητεύσατε", καὶ τὰ ἑξῆς, καὶ ἐν τῷ „ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ", καὶ τὰ ἑξῆς, καὶ ἐν πολλοῖς ἄλλοις χωρίοις.

## XIX. — Πῶς δεῖ νοεῖν τὰ περὶ τοῦ ἁγίου Πνεύματος λεγόμενα.

Πρὸς δὲ εὐρυτέραν τῆς ἀληθείας φανέρωσιν θεωρητέον ἂν εἴη, ὅτι ἐν πάσῃ νοερᾷ φύσει ἀνάγκη καὶ βούλησιν εἶναι, ἥτις ἐστὶ ῥοπὴ τῆς φύσεως τῆς νοερᾶς πρὸς τὰς οἰκείας αὐτῇ ἐνεργείας καὶ τὸ οἰκεῖον τέλος· καὶ ἔστιν ἀρχὴ ἡ βούλησις τῶν ἐν ἡμῖν πράξεων, δι' ὧν ὁ νοῦς ἕνεκά του ποιεῖ· τὸ γὰρ οὗ ἕνεκα καὶ τὸ ἀγαθὸν ἀντικείμενόν ἐστι τῆς βουλήσεως.

Ἐπεὶ δὲ πλείους ἐνέργειαι ἀναφέρονται ὑπὸ τὴν βούλησιν, ὡς τὸ ἥδεσθαι, τὸ ἐπιθυμεῖν, τὸ μισεῖν καὶ τὰ τοιαῦτα, μία καὶ κοινὴ ῥίζα τούτων, ἡ ἀγάπη· ὡς γὰρ τὰ φυσικὰ ῥοπὴν ἔχει πρὸς τὸ ὑφ' ὃ φύσει κινεῖται, οὕτω καὶ τὰ διὰ νοῦ ἐνεργοῦντα, διὰ τοῦ νοητοῦ εἴδους καταλαμβάνοντά τι οἰκεῖον ἢ συγγενές, πρὸς ἐκεῖνο ῥέπουσι τῇ βουλήσει· τὸ δὲ οἰκειοῦσθαί τινι καὶ ἐφίεσθαι αὐτοῦ, ᾗ τοιούτου, ἀγαπᾶν ἐστι τοῦτο. Πᾶσα ἄρα τῆς βουλήσεως ῥοπὴ καὶ ἔφεσις αἰσθητὴ ἐκ τῆς ἀγάπης τὴν ἀρχὴν ἔχει· ἀγαπῶντες γάρ τι, ἐπιθυμοῦντές τε ἀπόντος, καὶ παρόντι χαίρομεν, καὶ εἰργόμενοι ἐκείνου, ἀχθόμεθα, καὶ μισοῦμεν τὰ πρὸς ἐκεῖνο κωλύματα, καὶ ὀργιζόμεθα κατ' ἐκείνων. Οὕτω τοίνυν τὸ ἀγαπητὸν οὐκ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐν τῷ νῷ μόνον τοῦ ἀγαπῶντος, ἀλλὰ κἀν τῇ βουλήσει, πλὴν οὐχ ὡσαύτως, ἀλλ' ἐν μὲν τῷ νῷ κατὰ τὴν τοῦ οἰκείου εἴδους ὁμοιότητα, ἐν δὲ τῇ θελήσει τοῦ ἀγαπῶντος ὡς τὸ τῆς κινήσεως τέλος ἐν τῇ κινητικῇ ἀρχῇ, ὥσπερ ὁ ἄνω τόπος ἐστὶ τινὰ τρόπον ἐν τῷ πυρὶ τῷ τῆς κουφότητος λόγῳ, καθ' ἣν ἔχει πρὸς τὸν τοιοῦτον τόπον ἀναλογίαν καὶ οἰκειότητα· τὸ δὲ γεννώμενον πῦρ ἐστιν ἐν τῷ γεννήσαντι πυρὶ καθ' ὁμοιότητα τοῦ ἰδίου εἴδους.

Ἐπεὶ τοίνυν ἐν πάσῃ νοερᾷ φύσει ἔστι καὶ βούλησις, ὡς εἴρηται, ὁ δὲ Θεός ἐστι νοῶν, | ὡς ἐδείχθη, δεῖ ἐν αὐτῷ καὶ βούλησιν εἶναι, ἥτις f. 154v ἐστὶν ἡ οὐσία αὐτοῦ· ὥστε καὶ ἡ βούλησις αὐτοῦ καὶ ὁ νοῦς ἕν εἰσι πρᾶγμα, ὡς ἐν τῷ πρώτῳ δέδεικται, ἐν ᾧ καὶ ὅπως ἡ βούλησις αὐτοῦ οὐ κατὰ δύναμιν ἢ ἕξιν, ἀλλὰ κατ' ἐνέργειάν ἐστι, γέγονε φανερόν. Εἰ οὖν πᾶσα βουλήσεως ἐνέργεια ἐν τῇ ἀγάπῃ ἐρρίζωται, ἐν τῷ Θεῷ δεῖ εἶναι ἀγάπην, ᾗ ὁ Θεὸς πρώτως ἑαυτὸν καὶ τὴν ἰδίαν ἀγαθότητα ἀγαπᾷ, ἥτις ἐστὶν ἴδιον ἀντικείμενον τῆς θείας βουλήσεως· καὶ ἐπεὶ τὸ ἀγαπητὸν ἐν τῇ βουλήσει τοῦ ἀγαπῶντός ἐστιν, καὶ αὐτὸς ὁ Θεὸς ἐν τῇ ἰδίᾳ βουλήσει ἐστὶν ὡς τὸ ἀγαπώμενον ἐν τῷ ἀγαπῶντι· καὶ ἐπεὶ τὸ ἀγαπᾶν βούλεσθαι ἐστίν, τὸ δὲ βούλεσθαι τοῦ Θεοῦ ἐστι τὸ εἶναι αὐτοῦ, τὸ εἶναι ἄρα τοῦ Θεοῦ ἐν τῇ βουλήσει αὐτοῦ κατὰ τὸν τῆς ἀγάπης τρόπον οὐκ ἔστιν εἶναι κατὰ συμβεβηκός, ὡς ἐν ἡμῖν, ἀλλ' οὐσιῶδες. Ὅθεν ἀνάγκη τὸν Θεόν, καθόσον ἐν τῇ αὐτοῦ βουλήσει ὑφεστὼς θεωρεῖται, ἀληθῶς καὶ οὐσιωδῶς εἶναι Θεόν. Ὃ δέ ἐστιν ἐν τῇ βουλήσει ὡς ἀγαπώμενον ἐν τῷ ἀγαπῶντι οὐκ ἔστι κατὰ τὴν τοῦ εἴδους ὁμοιότητα, ὥσπερ τὸ νοητὸν ἐν τῷ νοοῦντι· πᾶν δὲ τὸ ἐξ ἑτέρου ὡς γεννητὸν προϊὸν πρόεισι καθ' ὁμοιότητα τοῦ εἴδους πρὸς τὸν γεννήσαντα, καὶ διὰ τοῦτο ἡ τοῦ πράγματος πρόοδος, καθόσον ἐστὶν ἐν τῇ βουλήσει ὡς ἀγαπώμενον ἐν τῷ ἀγαπῶντι, οὐκ ἔστι κατὰ τὸν τῆς γεννήσεως τρόπον, ὥσπερ ἡ πρόοδος τοῦ εἶναι ἐν τῷ νῷ λόγον ἔχει γεννήσεως, ὡς ἐδείχθη. Ὁ Θεὸς ἄρα ὥσπερ ἀγάπη προϊών, οὐχ ὡς γεννητὸς πρόεισιν. Ἐπεὶ δὲ τὸ ἀγαπώμενον ἐν τῇ βουλήσει ὑφέστηκεν ὡς ῥέπειν ποιοῦν καὶ τρόπον τινὰ κινοῦν ἔνδοθεν τὸν ἀγαπῶντα εἰς τὸ ἀγαπώμενον πρᾶγμα, ἡ δὲ ἔνδοθεν κίνησις τοῦ ζῶντος πνεύματι οἰκεία ἐστίν, οἰκεῖόν ἐστι τῷ ὡς ἀγάπῃ προϊόντι Θεῷ πνεῦμα λέγεσθαι. Ἐντεῦθέν ἐστιν ὅ φησιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους· „Ὅσοι Πνεύματι Θεοῦ ἄγονται", ὥσπερ δηλονότι παλλόμενοι ἔνδοθεν· καὶ ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ· „Ἡ ἀγάπη τοῦ Θεοῦ, ἐκκέχυται ἐν ταῖς καρδίαις ὑμῶν".

Ἐπεὶ καὶ πᾶσα νοερὰ κίνησις ἀπὸ τοῦ τέλους παρονομάζεται, ἡ δὲ προειρημένη ἀγάπη ἐστὶν ᾗ ὁ Θεὸς αὐτὸς ἀγαπᾶται, οἰκείως ὁ κατὰ τὸν τρόπον τῆς ἀγάπης προϊὼν Θεὸς Πνεῦμα ἅγιον λέγεται· τὰ γὰρ τῷ Θεῷ ἀφιερωμένα ἅγια καλεῖσθαι εἰώθασιν.

---

32 Rom. 8, 14   34 II Cor. 5, 14

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XX. — Περὶ τῶν ἀποδιδομένων τῷ ἁγίῳ Πνεύματι ἐν γραφαῖς.

Πρῶτον μὲν ἀρχή ἐστι τῆς τῶν πραγμάτων δημιουργίας, κατὰ τὸ ἐν Ψαλμοῖς· „Ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται“· πρόεισι γὰρ κατὰ τρόπον ἀγάπης, ᾗ ὁ Θεὸς ἀγαπᾷ ἑαυτόν· ἡ δὲ ἀγάπη ᾗ τὴν ἑαυτοῦ
f. 155 | ἀγαθότητα ἀγαπᾷ ὁ Θεός, αἰτία τῆς τῶν ὄντων δημιουργίας.

Δεύτερον, ἀποδίδοται αὐτῷ ἡ ἐν τοῖς πράγμασι κίνησις· πρώτη δὲ μεταβολὴ τῶν ὄντων, ἡ καθ' ἣν ἐκ τῆς ἀνειδέου καὶ κτιστῆς ὕλης διάφορα εἴδη παρήχθη ἐκ τοῦ Θεοῦ, ὡς ἐν τῇ Γενέσει λέγεται· „Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος“, οὐχ ὡς αὐτοῦ κινουμένου, ἀλλ' ὡς κινήσεως ὄντος ἀρχῆς· οἰκεία δὲ ἡ τοιαύτη κίνησις τῷ Πατρὶ ὡς ἀγάπη· ἡ γὰρ ἀγάπη δύναμίν τινα προκλητικὴν καὶ κινητικὴν ἔχει.

Τρίτον, ἀκολούθως ἡ τῶν πραγμάτων κυβέρνησις αὐτῷ ἀποδίδοται, κατά τινα κίνησιν τάττουσα εἰς τὰ ἴδια τέλη, ἥτις κίνησις ὡς ἀγάπη αὐτῷ προσήκει, ὡς ἐν Ψαλμοῖς λέγεται· „Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ“.

Τέταρτον, ὡς προνοουμένῳ ἡ δεσποτεία ἀποδίδοται ἑπομένως, ὡς ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ „Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν“· καὶ ἐν τῷ συμβόλῳ· „Πιστεύω εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ κύριον“, καὶ τὰ ἑξῆς.

Πέμπτον, οἰκείως καὶ ἡ ζωὴ αὐτῷ ἀποδίδοται, ἐν κινήσει μάλιστα συνισταμένη, ἥτις τῷ τῆς ἀγάπης λόγῳ ἁρμόζει τῷ Πνεύματι· φησὶ γὰρ ὁ Ἰωάννης· „Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν“, ὡς ἐν τῷ Ἰεζκιὴλ λέγεται· „Δώσω ὑμῖν πνεῦμα, καὶ ζήσεσθε“· καὶ ἐν τῷ συμβόλῳ τῷ κύριον πρόσκειται τὸ ζωοποιοῦν.

Τοῦτο δὲ καὶ τῷ τοῦ Πνεύματος ὀνόματι συμφωνεῖ· καὶ γὰρ ἡ σωματικὴ τῶν ζῴων ψυχὴ διὰ ζωτικοῦ ἐστι πνεύματος ἐξ ἀρχῆς τῆς ζωῆς εἰς τὰ λοιπὰ μέλη διαχυθεῖσα.

## XXI. — Περὶ τῶν ἀποδιδομένων τῷ ἁγίῳ Πνεύματι χαρισμάτων, τῶν δι' αὐτοῦ ἡμῖν δωρουμένων.

Ἐπεὶ δὲ τὸ Πνεῦμα κατὰ τὸν τῆς ἀγάπης πρόεισι τρόπον, ᾗ ὁ Θεὸς ἑαυτὸν ἀγαπᾷ, καθόσον ὁμοιούμεθα τῇ τοιαύτῃ ἀγάπῃ καὶ τελειούμεθά πως τὸν Θεὸν ἀγαπῶντες, παρὰ Θεοῦ ἡμῖν δίδοσθαι τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, ὡς ἐν τῇ πρὸς Ῥωμαίους λέγεται· „Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος τοῦ δοθέντος ἡμῖν“· τοῦτον γὰρ τὸν τρόπον καὶ ὁ τῆς σοφίας λόγος, ᾧ τὸν Θεὸν γινώσκομεν, παραστατικὸς ὢν τοῦ Υἱοῦ, ἐκ Θεοῦ ἡμῖν δίδοται· καὶ ἡ ἀγάπη δίδοται, παραστατικὴ

---

4 Ps. 103, 30 9 Gen. 1, 2 15 Ps. 142, 10 18 II Cor. 3, 18 22 Ioh. 6, 64 23 Ezech. 37, 6 34 Rom. 5, 5

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὖσα τοῦ Πνεύματος. Διότι δὲ τὸ ἐνεργοῦν οὐκ ἄπεστιν ἐκεῖθεν ὅπου ἐνεργεῖ, διὰ τοῦτο τὸ Πνεῦμα, τὴν ἀγάπην τοῦ Θεοῦ ποιοῦν ἐν ἡμῖν, καὶ ἐν ἡμῖν ἐστιν εὐλόγως, ὡς ἐν τῇ πρὸς Κορινθίους· „Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν“; καὶ οὐ μόνον τὸ Πνεῦμα, ἀλλὰ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐν τοῖς ἀγαπῶσι τὸν Θεὸν διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος, κατοικοῦσιν, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, | καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν“, τὸν ἀγαπῶντα δηλονότι f. 155ᵛ τὸν Θεόν. Ἐπεὶ δὲ τὸ ἀγαπώμενον ἐν τῷ ἀγαπῶντι, ἀγαπᾷ δὲ ἡμᾶς ὁ Θεὸς οὐχ ὡς ἀνταγαπῶν, ἀλλ' ὅτι πρῶτος αὐτὸς ἡμᾶς ἠγάπησεν, καὶ ἡμεῖς ἐν τῷ Θεῷ ἐσμὲν διὰ τοῦ Πνεύματος, ὡς ἐν τῇ πρώτῃ Ἰωάννου λέγεται· „Ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ“· καὶ αὖθις· „Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν“· δι' οὗ φίλοι Θεοῦ καθιστάμεθα, δι' αὐτοῦ καὶ τὰ θεῖα μυστήρια ἀποκαλυπτόμεθα· ἔστι γὰρ φιλίας ἴδιον, τὸ τοῖς φίλοις τὰ μυστήρια ἀποκαλύπτειν. Διὸ ἐν τῇ πρὸς Κορινθίους λέγεται· „Ἡμῖν δὲ ἀπεκάλυψε“, τὰ μυστήρια δηλαδὴ διὰ Πνεύματος ἁγίου.

Ἐπεὶ δὲ ἐκ τῶν ἐγνωσμένων τῷ ἀνθρώπῳ καὶ ὁ λόγος αὐτοῦ εἰδοποιεῖται, οἰκείως διὰ τοῦ αὐτοῦ Πνεύματος ἁγίου ὁ ἄνθρωπος καὶ τὰ θεῖα λαλεῖ μυστήρια, ὡς ἐν τῷ κατὰ Ματθαῖον· „Οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν“· καὶ ἐν τῇ πρώτῃ Πέτρου, ὅτι· „Ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐμπνευσθέντες, ἐλάλησαν οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι“. Ὅθεν καὶ ἐν τῷ συμβόλῳ, πρόσκειται· Τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Δι' αὐτοῦ κοινωνεῖ ἡμῖν ὁ Θεὸς τῶν αὐτοῦ χαρισμάτων· ἴδιον γὰρ καὶ τοῦτο φιλίας τὸ κοινωνεῖν τῶν ὑπαρχόντων τοῖς φίλοις, καὶ διὰ τοῦτο ἐν τῇ πρώτῃ πρὸς Κορινθίους λέγεται· „Δίδοται διὰ Πνεύματος λόγος σοφίας“, καὶ πολλῶν ἀπαριθμηθέντων, ἐπάγει· „Ταῦτα πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ, καθὼς βούλεται.

Δι' αὐτοῦ τῷ Θεῷ συμμορφούμεθα, δι' αὐτοῦ πρὸς τὸ τὰ ἀγαθὰ πράττειν ἐπιτήδειοι γινόμεθα, δι' αὐτοῦ ἡ πρὸς τὴν μακαριότητα ὁδὸς ἡμῖν ἑτοιμάζεται, ὡς ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ λέγεται· „Ὁ χρίσας ἡμᾶς Θεός, καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν“. Ἡ γὰρ σφραγὶς πρὸς τὴν τῆς μορφώσεως ὁμοιότητα δοκεῖ ἀναφέρεσθαι· ἡ δὲ χρίσις πρὸς τὴν ἐπιτηδειότητα τοῦ ἀνθρώπου πρὸς τὰς ἐνεργείας, ἃς χρὴ ἐνεργεῖν κατὰ τὰς δεδομένας ἡμῖν ἐκ Θεοῦ τελειότητας· ὁ δὲ ἀρραβών, πρὸς τὴν ἐλπίδα, δι' ἧς ταττόμεθα εἰς τὴν οὐράνιον κληρονομίαν, ἥτις ἐστὶν ἡ τελεία μακαριότης.

---

**3 I Cor. 3, 16 6 Ioh. 14, 23 11 I Ioh. 4, 16 12 I Ioh. 4, 13 16 I Cor. 2, 9 19 Matth. 10, 20 21 II Pet. 1, 21, non I Pet. 26 I Cor. 12, 8, 11 31 I Cor. 1, 21, 22**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Δι' αὐτοῦ εἰσποιοῦνται οἱ υἱοὶ τοῦ Θεοῦ, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, ἀββᾶ, ὁ Πατήρ.

Δι' αὐτοῦ ἀναιρεῖται ἡ ἔχθρα τῶν φιλιουμένων τῷ Θεῷ, ὡς ἐν ταῖς f. 156 Παροιμίαις | λέγεται· „Ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν". Οὕτως ἐν τῷ κατὰ Ἰωάννην εἴρηται τοῖς μαθηταῖς· „Λάβετε πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς"· καὶ διὰ τοῦτο τοῖς βλασφημοῦσιν εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἡ τῶν ἁμαρτιῶν ἄφεσις ἀπείρηται, ὡς ἂν οὐκ ἔχουσιν ἐκεῖνο, δι' οὗ τῆς τῶν ἁμαρτιῶν ἀφέσεως τυγχάνει ὁ ἄνθρωπος. Ἐντεῦθέν ἐστι καὶ τὸ δι' αὐτοῦ ἀνακαινίζεσθαι ἡμᾶς καὶ καθαίρεσθαι ἢ ἀπολούεσθαι, ὡς ἐν τοῖς Ψαλμοῖς· „Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς"· καὶ ἐν τῇ πρὸς Ἐφεσίους· „Ἀνακαινίσθητε τῷ πνεύματι τοῦ νοὸς ὑμῶν"· καὶ ἐν τῷ Ἡσαΐᾳ· „Ἀπολούσει Κύριος τὰς κηλῖδας τῶν υἱῶν Σιών, καὶ τὸ αἷμα τῶν θυγατέρων ἐκ μέσου αὐτῶν καθαριεῖ πνεύματι κρίσεως καὶ πνεύματι καύσεως".

## XXII. — *Περὶ τῶν τοῦ ἁγίου Πνεύματος ἔργων, οἷς τὴν κτίσιν εἰς τὸν Θεὸν κινεῖ.*

Δι' αὐτοῦ κινούμεθα ἐπὶ τὸν Θεόν· ὡς γὰρ ἐρασταὶ δι' αὐτοῦ γεγονότες τοῦ Θεοῦ, εἰκότως καὶ θεωροὶ δι' αὐτοῦ καθιστάμεθα, ὡς ἐν τῇ πρὸς Κορινθίους· „Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, εἰς τὴν αὐτοῦ εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν καθάπερ ἀπὸ Κυρίου Πνεύματος".

Δι' αὐτοῦ εὐφροσύνην καὶ παράκλησιν λαμβάνομεν ἀπὸ Θεοῦ πρὸς πάσας τὰς ἐκ τοῦ κόσμου δυσκολίας καὶ μάχας, ὡς ἐν τοῖς Ψαλμοῖς λέγεται· „Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με"· καὶ ἐν ταῖς Πράξεσι περὶ τῆς ἐκκλησίας· „Ὠκοδομεῖτο πορευομένη ἐν φόβῳ Θεοῦ, καὶ τῆς παρακλήσεως τοῦ ἁγίου Πνεύματος ἐπληροῦτο". Διὸ καὶ ὁ Κύριος τὸ Πνεῦμα τὸ ἅγιον παράκλητον ὀνομάζει, τουτέστι παρήγορον.

Δι' αὐτοῦ ἐρασταὶ γινόμενοι τοῦ Θεοῦ, καὶ δι' αὐτοῦ τὸ τὰς ἐντολὰς τοῦ Θεοῦ κατορθοῦν δύνασθαι λαμβάνομεν, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ Θεοῦ".

Ἄγονται δὲ ἐλευθέρως δι' ἀγάπην, ἀλλ' οὐ δουλικῶς διὰ φόβον· ὅθεν ἐν τῇ αὐτῇ λέγεται· „Οὐκ ἐλάβετε πάλιν πνεῦμα δουλείας εἰς φόβον, ἀλλὰ πνεῦμα υἱοθεσίας"· καὶ ἐν τῇ πρὸς Κορινθίους· „Ὅπου Πνεῦμα, ἐκεῖ

---

**2** Rom. 8, 15 **4** Prov. 10, 12 **5** Ioh. 20, 22 **10** Ps. 103, 30 **13** Is. 4, 4 **21** II Cor. 3, 18 **26** Ps. 50, 14 **27** Act. 9, 31 **29** Ioh. 14, 26 **33** Rom. 8, 14 **35** Rom. 8, 15 **36** II Cor. 3, 17

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἐλευθερία“· καὶ ἐν τῇ πρὸς Γαλάτας· „Εἰ πνεύματι Θεοῦ ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον“. Ἐντεῦθέν ἐστιν ὅτι καὶ τὰ τῆς σαρκὸς ἔργα θανατοῦν λέγεται, καθὸ διὰ τῶν παθῶν τῆς σαρκὸς ἀποχωροῦμεν τοῦ ἀγαθοῦ, πρὸς ὃ δι' ἀγάπης τάττει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Εἰ πνεύματι τὰ ἔργα τῆς σαρκὸς νεκρώσετε, ζήσεσθε“.

## XXIII. — Λύσεις τῶν κατὰ τῆς θεότητος τοῦ ἁγίου Πνεύματος λόγων. f. 156v

Πρῶτον μὲν οὖν, ὥσπερ λέγεται μὴ λαλεῖν ἀφ' ἑαυτοῦ διὰ τὸ μηδὲ ἀφ' ἑαυτοῦ ἐνεργεῖν, καὶ ἀκούειν λέγεται διὰ τὸ λαμβάνειν τὴν σοφίαν ἐκ τοῦ Πατρός, ὅθεν καὶ τὴν οὐσίαν, ἀνθρωπικώτερον προαγομένου τοῦ λόγου τῷ ἡμετέρῳ ἔθει, ὅτι καὶ ἡμεῖς δι' ἀκοῆς τὴν σοφίαν λαμβάνομεν. Καὶ ἐπὶ μέλλοντος λέγεται ἀκούσειν τὸ Πνεῦμα διὰ τὸ λαλήσειν, χρονικῶν ὄντων τῶν δεξομένων τὸν λόγον· ἁπλῶς δὲ ἀϊδίως ἀκούει τὸ Πνεῦμα· τῷ δὲ αἰωνίῳ πάντα τὰ τοῦ χρόνου προσφύεσθαι δύνανται, ἅτε τῆς ἀϊδιότητος ὅλον περιεχούσης τὸν χρόνον. Οὕτω καὶ πέμπεσθαι λέγεται διὰ τὸ ὁρατῶς φανῆναι ἢ ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Χριστόν, ἢ ἐν εἴδει γλωσσῶν πυρίνων ἐπὶ τοὺς ἀποστόλους, οὐ περιστερὰ ἢ πῦρ γεγονός, ὡς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ ἄνθρωπος γέγονεν, ἀλλ' ἐν τοιούτοις εἴδεσι πεφηνὸς ὁρατῶς ἐν τῷ κόσμῳ.

Ἀλλὰ μὴν καὶ ἑνὸς τῶν θείων προσώπων λεγομένου ἢ δυοῖν, καὶ οἱ τρεῖς ἐξ ἀνάγκης νοοῦνται· καὶ διὰ τοῦτο μᾶλλον ἡ Γραφὴ οὐκ ἀναγκάζεται καὶ τῶν τριῶν ὁμοῦ μνημονεύειν ἀεί, μυστικῶς καὶ ἡμῖν διδοῦσα νοεῖν, ὡς ὃ τῇ θεότητι προσήκει τοῦ ἑνός, καὶ περὶ πάντων νοεῖσθαι αὐτὸ τοῦτο δεῖ· διὸ λέγεται· „Οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός“, καίτοι τοῦ Πατρὸς ὁμοίως αὐτοῦ καὶ τοῦ Πνεύματος τὸν Πατέρα γινώσκοντος· καὶ ἐν τῇ πρὸς Κορινθίους· „Τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ“, καίτοι βέβαιον, ὅτι τῆς γνώσεως ταύτης οὔτε ὁ Πατήρ, οὔτε ὁ Υἱὸς ἀποκλείεται.

Τὰ δὲ τῇ κινήσει προσήκοντα, περὶ τοῦ Πνεύματος λεγόμενα, μεταφορικῶς λέγονται, ὡς καὶ περιπατεῖν ὁ Κύριος ἐν τῷ παραδείσῳ λέγεται, καὶ τὰ τοιαῦτα. Οὕτω δὲ τὸ Πνεῦμα ἐπιφέρεται ἐπάνω τοῦ ὕδατος, ὡς ἡ βούλησις ἐπὶ τὸ βουλητὸν φέρεσθαι λέγεται, καὶ ὁ ἔρως εἰς τὸ ἐραστόν, εἰ καί τινες τὸν ἀέρα νοοῦσιν ἐκεῖ, οὗτινος ὁ κατὰ φύσιν τόπος ὑπὲρ τὸ ὕδωρ ἐστίν. Οὕτω καὶ ἐκχεῖσθαι λέγεται, ὡς καὶ πέμπεσθαι, τῷ τῆς χύσεως ὀνόματι τῆς ὑπερβολῆς τῶν πνευματικῶν ἐνεργειῶν νοουμένης, καὶ ὅτι πρὸς πολλοὺς ἥξει, ἄλλους μετ' ἄλλους ὥσπερ μετοχετευόμενον καθ' ὁμοιότητα τῶν σωματικῶς χεομένων.

---

1 Gal. 5, 18 5 Rom. 8, 13 25 Matth. 11, 27

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἐπεὶ δὲ ἀγάπη ἐστίν, ᾗ ὁ Θεὸς ἡμᾶς ἀγαπᾷ καὶ ᾗ ἡμεῖς τὸν Θεὸν ἀγαπῶμεν, εἰκότως καὶ δίδοσθαι ἡμῖν λέγεται. Εἰ δὲ καὶ ἀϊδίως ἀγαπᾷ ὁ Θεός, ἀλλὰ τὸ ἀποτέλεσμα τῆς θείας ἀγάπης ἀπὸ χρόνου τὴν αἰτίαν ἔν τινι λαμβάνει, ὅταν αὐτὸν πρὸς ἑαυτὸν ἕλκῃ τῇ δοθείσῃ ἀγάπῃ, δηλαδὴ τῷ Πνεύματι. Οὐ μόνον παρὰ Πατρὸς καὶ Υἱοῦ δίδοται, ἀλλὰ καὶ f. 157 | παρ' ἑαυτοῦ· τῆς γὰρ ἀγάπης, δι' ἧς ἡμῖν ἐνοικεῖ, ὁμοῦ τῷ Πατρὶ καὶ τῷ Υἱῷ αἴτιόν ἐστιν ἐν ἡμῖν.

Οὐκ ἀνάγκη δὲ αὐτὸ Υἱὸν εἶναι, καίτοι γε ἀληθῆ Θεὸν ὄντα καὶ τὴν θείαν φύσιν τὴν αὐτὴν ἀριθμῷ παρὰ τοῦ Πατρὸς λαμβάνοντα· Υἱὸς γάρ τις λέγεται καθὸ γεννητός. Εἰ δέ τι φύσιν τινὸς ἐξ αὐτοῦ λαμβάνει ἄλλως ἢ τῷ τῆς γεννήσεως τρόπῳ, οὐκ ἂν ἔχοι τὸν τῆς υἱότητος λόγον. Ἡ δὲ τοῦ ἁγίου Πνεύματος πρόοδος ἐδείχθη μὴ ἔχουσα τὸν τῆς υἱότητος λόγον. Ὅθεν, εἰ καὶ τοῦ Πατρὸς τὴν φύσιν ἐξ αὐτοῦ λαμβάνει, ἀλλ' οὐ δύναται υἱὸς αὐτοῦ λέγεσθαι.

Τὸ δὲ ἐν μόνῃ τῇ θείᾳ φύσει κατὰ πλείονας τρόπους κοινωνίαν εἶναι τῆς θείας φύσεως, εὔλογόν ἐστιν, ἐπεὶ ἐν μόνῳ τῷ Θεῷ ἐστιν ἡ ἐνέργεια αὐτοῦ τὸ εἶναι αὐτοῦ· ὅθεν, ἐπεὶ ἐν αὐτῷ ὥσπερ καὶ ἐν πάσῃ νοερᾷ φύσει καὶ νοεῖν ἐστι καὶ βούλεσθαι, τὸ ἐξ αὐτοῦ προϊὸν κατὰ τὸν νοῦν ὡς λόγος, ἢ κατὰ τὸν τῆς κυβερνήσεως τρόπον ὡς ἀγάπη, ἀνάγκη ἔχειν τὸ θεῖον εἶναι καὶ εἶναι Θεόν. Διὰ τοῦτο καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀληθής ἐστι Θεός.

## XXIV-XXV.

Τούτοις προσέκειτο ἕτερον κεφάλαιον, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον.

Καὶ ἕτερον αὖ, ὅτι τίσι λόγοις κινοῦνται οἱ λέγοντες μὴ ἐκπορεύεσθαι αὐτὸ ἐκ τοῦ Υἱοῦ, καὶ τῶν λόγων ἔλεγχος τούτων.

Ταῦτα δὲ οὐκ ἐξεγράφη παρ' ἡμῶν τὰ κεφάλαια, ὡς τῇ πίστει τῆς ἁγίας μητρὸς ἡμῶν καὶ τῷ τῆς πίστεως συμβόλῳ, μαχόμενα, οὐδ' ἀνάγκης τι ἔχοντα, καθ' ὧν ἡμεῖς βιβλίοις ὅλοις, σῳζομένοις εἰς δόξαν Θεοῦ, διηγωνισάμεθα.

## XXVI. — Ὅτι τρία πρόσωπα μόνον ἐν τοῖς θείοις· Πατήρ, Υἱὸς καὶ ἅγιον Πνεῦμα, καὶ ταῦτα τὰ τρία εἷς εἰσι Θεός.

Τὰ γὰρ θεῖα πρόσωπα ἓν ἔχοντα τὸ εἶναι, ὡς εἴρηται, τῇ κατ' αἰτίαν μόνον ἀναφορᾷ διακρίνονται· τὰς δὲ κατ' αἰτίαν ἀναφορὰς οὐ κατὰ τὴν εἰς τὰ ἔξω τείνουσαν πρόοδον δεῖ λαμβάνειν· οὕτω γὰρ τὸ προϊὸν οὐκ ἂν ἦν τῇ αὐτοῦ ἀρχῇ ὁμοούσιον· ἀλλ' ἀνάγκη τὴν πρόοδον ἔνδον ὑφίστασθαι. Τὸ δὲ προϊόν τι μένειν ἐν τῇ ἰδίᾳ ἀρχῇ ἐν μόνῃ τῇ τοῦ νοῦ καὶ τῆς βουλήσεως ἐνεργείᾳ εὑρίσκεται· ὅθεν οὐ δύνανται τὰ θεῖα πρόσωπα πολλαπλασιάζεσθαι πλὴν καθόσον ἡ τοῦ νοῦ καὶ τῆς βουλήσεως ἐν τῷ

Ε.Υ.Δ της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Θεῷ πρόοδος ἀπαιτεῖ. Ἀδύνατον δὲ ἐν τῷ Θεῷ εἰ μὴ μίαν μόνην κατὰ νοῦν πρόοδον εἶναι, | ὅτι καὶ τὸ νοεῖν αὐτοῦ ἕν ἐστι καὶ ἁπλοῦν καὶ f. 157v τέλειον, ἐπεὶ καὶ τῷ νοεῖν ἑαυτὸν τὰ ἄλλα νοεῖ, καὶ οὕτως οὐ δύναται εἶναι ἐν τῷ Θεῷ λόγου πρόοδος πλὴν μιᾶς. Ὁμοίως δὲ καὶ τὴν τῆς ἀγάπης πρόοδον μίαν εἶναι ἀνάγκη, ὅτι καὶ τὸ θεῖον βούλεσθαι ἕν ἐστι καὶ ἁπλοῦν· τῷ γὰρ ἀγαπᾶν ἑαυτὸν ἀγαπᾷ πάντα τὰ ἄλλα. Οὐκ ἄρα ἐν τῷ Θεῷ δυνατὸν προϊέναι πλείω τῶν δύο προσώπων, τὸ μὲν ἕτερον κατὰ τὸν τοῦ νοῦ τρόπον ὡς λόγον, τὸ δὲ ἕτερον κατὰ τὸν τῆς ἀγάπης ὡς τὸ Πνεῦμα τὸ ἅγιον. Ἔστι δὲ καὶ ἕτερον πρόσωπον μὴ προϊόν, ὁ Πατὴρ δηλονότι. Μόνα ἄρα τρία πρόσωπα ἐν τῇ Τριάδι δύνανται εἶναι.

Οὐκ ἀνάγκη δὲ διὰ τὸ εἶναι ἐν τῷ Υἱῷ δύναμιν νοερὰν τελείαν, προάγειν καὶ αὐτὸν λόγον ἕτερον, ἢ καὶ τὸ Πνεῦμα, ἀπείρου ἀγαθότητος οὔσης ἐν αὐτῷ, ἥτις ἐστὶν ἀρχὴ κοινωνίας, ἑτέρῳ προσώπῳ καὶ αὐτὸ μεταδιδόναι τῆς θείας φύσεως· ὁ γὰρ Υἱὸς Θεός ἐστιν οὐχ ὡς γεννῶν, ἀλλ' ὡς γεννητός· ὅθεν ἡ νοερὰ δύναμίς ἐστιν ἐν αὐτῷ οὐχ ὡς προάγοντι λόγον, ἀλλ' ὡς προϊόντι κατὰ τὸν τρόπον τοῦ λόγου. Ὁ αὐτὸς δὲ καὶ περὶ τοῦ Πνεύματος λόγος. Ὅλον ἄρα τὸ τῆς θεότητος πλήρωμά ἐστιν ἐν Υἱῷ καὶ ταὐτὸν ἀριθμῷ τῷ ἐν Πατρί, ἀλλὰ μετὰ τῆς κατὰ τὴν αἰτιατήν, εἰ οὕτω χρὴ φάναι, γέννησιν ἀναφορᾶς, ὥσπερ ἐν τῷ Πατρὶ τῆς ἐνεργητικῆς. Ὅθεν εἰ ἡ τοῦ Πατρὸς ἀναφορά, ἡ κατὰ τὴν ἐνεργητικὴν γέννησιν, ἀπεδίδοτο τῷ Υἱῷ, πᾶσα ἂν διάκρισις ἀνῃρεῖτο. Ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ ἁγίου Πνεύματος.

Ταύτης δὲ τῆς Τριάδος τὴν ὁμοιότητα ἐν τῷ ἀνθρωπίνῳ νῷ ὡς οἷόν τε δυνησόμεθα κατιδεῖν. Αὐτὸς γὰρ ὁ νοῦς, καθὸ ἑαυτὸν ἐνεργείᾳ νοεῖ, λόγον ἑαυτοῦ ἐν ἑαυτῷ συλλαμβάνει, ὅς ἐστιν ἡ νοερὰ νόησις τοῦ νοῦ, καὶ νοῦς νοερός· καὶ καθὸ αὖθις ἑαυτὸν ἀγαπᾷ, ἑαυτὸν προάγει εἰς βούλησιν ὡς ἀγαπητός· περαιτέρω δὲ οὐ πρόεισιν εἰς ἑαυτόν, ἀλλ' ὥσπερ ἐν κύκλῳ ἐπάνεισιν, ὅταν διὰ τῆς ἀγάπης ἐπ' αὐτὴν τὴν οὐσίαν ἐπανίῃ, ἀφ' ἧς ἡ πρόοδος ἤρξατο διὰ τῆς νοηθείσης νοήσεως. Γίνεται δὲ πρόοδος ἐπὶ τὰ ἔξωθέν ποτε ἀποτελέσματα, ὅταν ἐκ τῆς εἰς αὐτὸν ἀγάπης ἐπὶ τὸ πράττειν προΐῃ. Οὕτω τοίνυν τρία εὑρίσκονται ἐν τῷ νῷ· αὐτὸς ὁ νοῦς ἐν τῇ ἰδίᾳ φύσει ὑφεστὼς καὶ τῆς προόδου ὑπάρχων ἀρχή, καὶ ὁ συλληφθεὶς ἐν τῷ νῷ νοῦς, καὶ ὁ ἀγαπώμενος ἐν τῇ θελήσει νοῦς· τούτῳ δ' ἐνδεῖ τῆς πρὸς τὴν θείαν τριάδα ὁμοιότητος | ὁ ἀνθρώπινος νοῦς, τῷ τὰ μὲν θεῖα πρόσωπα f. 158 μιᾶς εἶναι φύσεως καὶ ἕκαστον αὐτῶν τέλειον εἶναι πρόσωπον, ἐπεὶ καὶ τὸ νοεῖν καὶ τὸ θέλειν αὐτό ἐστι τὸ θεῖον εἶναι, ὡς ἐδείχθη· ἐν δὲ τῷ ἀνθρώπῳ τὸν νοοῦντα καὶ ἀγαπῶντα νοῦν, καὶ τὸν νοούμενον καὶ τὸν ἀγαπώμενον μήτε μίαν φύσιν εἶναι διὰ τὸ νοεῖν τοῦ ἀνθρώπου ἢ τὸ θέλειν

38 *τὸ* répété devant *νοεῖν* A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὐκ εἶναι τὸ εἶναι αὐτοῦ, μήτε πρόσωπα εἶναι ὑφεστηκότα, εἰ καὶ ἁπλῶς ὑφεστήκασιν ἐν τῇ ἑαυτῶν φύσει· πρόσωπον γάρ ἐστιν ὅπερ καὶ ὅλον ἐστὶν ἐν τῇ ἰδίᾳ ὑποστάσει. Ὁ δὲ νοῦς καὶ μέρος ἐστὶ τοῦ ὑφεστῶτος ἀνθρώπου, καὶ ἕκαστα τῶν λοιπῶν δύο, ὡς μέρη τοῦ νοῦ αὐτοῦ, καὶ διὰ τοῦτο οὕτως ἡ θεία ὁμοιότης εὑρίσκεται ἐν ἀνθρώπῳ ὥσπερ ἡ τοῦ Ἡρακλέους ὁμοιότης ἐν τῷ λίθῳ, ὅσον πρὸς τὴν ὁμοιότητα τοῦ εἴδους, οὐ τὴν τῆς φύσεως· καὶ διὰ τοῦτο ἡ Γένεσις λέγει τοῦ Θεοῦ εἰκόνα εἶναι ἐν τῷ ἀνθρώπῳ.

Εὑρίσκεται δὲ κἀν τοῖς ἄλλοις πράγμασιν ὁμοιότης τις τῆς θείας Τριάδος, καθόσον ἕκαστον ἔνεστι τῇ ἑαυτοῦ οὐσίᾳ, καὶ εἴδει τινὶ μορφοῦται, καὶ τάξιν τινὰ ἔχει. Ἀλλ' ἡ μὲν τοῦ νοῦ σύλληψις ἐν τῷ νοητῷ εἶναι ἐστίν, ὥσπερ ἡ μόρφωσις τοῦ εἴδους ἐν τῷ φυσικῷ εἶναι· ἡ δ' ἀγάπη, ὥσπερ ῥοπή τις ἢ τάξις ἐν τῷ φυσικῷ πράγματι. Ὅθεν καὶ τὰ μὲν εἴδη τῶν πραγμάτων πόρρωθεν ἀνάλογόν ἐστι τῷ Υἱῷ· ἡ δὲ τάξις τῷ Πνεύματι τῷ ἁγίῳ, κἀντεῦθεν διὰ τὴν ἀπῳκισμένην καὶ ἀμυδρὰν ἀναλογίαν, τὴν οὖσαν ἐν τοῖς ἀλόγοις, ἴχνη τῆς Τριάδος ἐν αὐτοῖς εἶναι λέγεται, ἀλλ' οὐκ εἰκών, ὡς ἐν τῷ Ἰώβ· „Μὴ τὰ ἴχνη τοῦ Θεοῦ καταλήψῃ“;

Ταῦτα περὶ τῆς θείας Τριάδος κατὰ τὸ παρὸν εἰρημένα ἀρκείτωσαν.

## XXVII. — Περὶ τῆς σαρκώσεως τοῦ Λόγου.

Λείπεται νῦν περὶ τοῦ μυστηρίου τῆς σαρκώσεως διαλαβεῖν, οὗ θαυμαστότερον οὐδὲν ἐν τοῖς ὑπὸ Θεοῦ γεγονόσιν, καὶ πρὸς ὃ τὰ ἄλλα πάντα θαύματα τάττονται, ὅσα τε πρὸ αὐτοῦ καὶ μετ' αὐτό· πρὸς γὰρ τὴν τούτου πίστιν, γεγόνασιν ἅπαντα.

Ταύτην τοίνυν τὴν θαυμαστὴν τοῦ Θεοῦ Λόγου σάρκωσιν τοῖς θείοις λόγοις ἑπόμενοι καθομολογοῦμεν· ἐν γὰρ τῷ κατὰ Ἰωάννην λέγεται· „Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν“· καὶ ἐν τῇ πρὸς Φιλιππησίους ὁ Παῦλος· „Ὡς ἐν μορφῇ Θεοῦ ὑπάρχων“, καὶ τὰ ἑξῆς· καὶ αὐτὸς ὁ Ἰησοῦς, ἐν οἷς ταπεινὰ φθέγγεται περὶ ἑαυτοῦ διὰ τὴν προσληφθεῖσαν σάρκα, φησίν· „Ὁ Πατήρ μου μείζων ἐστί“· καί· „Περίλυπός
f. 158v ἐστιν ἡ ψυχή μου | ἕως θανάτου“, καὶ τὰ τοιαῦτα, ὥσπερ τὰ ὑψηλὰ καὶ θεῖα κατὰ τὴν θείαν φύσιν φησίν, ὡς τό· „Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν“, καί· „Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν“· καὶ τοῖς ἔργοις δὲ τοῦτο αὐτοῦ παρίστησι· τὸ μὲν γὰρ φοβηθῆναι καὶ λυπηθῆναι καὶ πεινῆσαι καὶ ἀποθανεῖν ἐπὶ τὴν ἀνθρωπίνην ἀνάγεται φύσιν, τὸ δὲ ἰδίᾳ δυνάμει ἀσθενεῖς θεραπεύειν, νεκροὺς ἐγείρειν, τοῖς στοιχείοις τοῦ κόσμου ἐπιτάττειν μετ' ἐξουσίας, δαίμονας ἐλαύνειν, ἁμαρτίας ἀφιέναι, ἐκ νεκρῶν

14 *ἀνάλογον* sic A pour *ἀνάλογα* 17 Iob, 11, 7 27 Ioh. 1, 14 28 Phil. 2, 6 30 Ioh. 14, 28 Matth. 26, 38 32 Ioh. 10, 30 33 Ioh. 16, 15

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006